Σχόλια. Ἐκχέῃ τὸν Τήλεφον.] ὡσανεὶ ἔφη τὸν ἐγκέφαλον. ἰδιαίτατα δὲ τὸν Τήλεφον κωμῳδεῖ.

A Ὥσπερ πρῖνος.] ὅτι ἡ πρῖνος καιομένη ψόφον ποιεῖ.

Καὶ τὸν Μελέαγρον, κἄτι μάλα τὸν Τήλεφον.
Δι. Σὺ δὲ δὴ τί βούλευσαι ποιεῖν; λέγ' Αἰσχύλε.
Αἰ. Ἐβουλόμην μὲν οὐκ ἐρίζειν ἐνθάδε.
Οὐκ ἐξ ἴσου γάρ ἐστιν ἀγὼν νῷν. Δι. τί δή;
Αἰ. Ὅτι ἡ ποίησις οὐχὶ συντέθνηκέ μοι.
Τούτῳ δὲ συντέθνηκεν, ὥσθ' ἕξει λέγειν.
Ὅμως, ἐπειδή σοι δοκεῖ, δρᾶν ταῦτα χρή.
Δι. Ἴθι νυν λιβανωτὸν δεῦρό τις, καὶ πῦρ δότω,
Ὅπως ἂν εὔξωμαι πρὸ τῶν σοφισμάτων,
Ἀγῶνα κρῖναι τόνδε μουσικώτατα.
Ὑμεῖς δὲ ταῖς μούσαις τι μέλος ὑπᾴσατε.

*Et hunc Meleagrum, adeoque ipsum etiam Telephum.*
*BA. Quid verò tu? quid vis facere? cedò, Æschyle.*
*ÆS. Ego hîc quidem nolim certare Tragœdijs:*
*Nam iniquum inter nos certamen erit. BA. cur ita?*
B *(mortua,*
*ÆS. Quoniam ars Poëtica mecum haud est e-*
*Cum hoc vnà mortua: sicut ipse fatebitur.*
*Verùm si tibi placet, faciendum est quod iubes.*
*BA. Age nunc thus proferat, & ignem det quispiam?*
*Ego prò sagaci iudicio faciam preces:*
*Vt aptè discernam certamen Musicum.*
*Vos autem Musis carmen accinite aliquod.*

C

Σχόλια. Κἄτι μάλα τὸν Τήλεφον.] ὡσεὶ ἔλεγε. καὶ ὃν κωμῳδεῖς Τήλεφον, εἰς μέσον φέρε. Ὅτι ἡ ποίησις οὐχὶ συντέθνηκεν.] ἐπεὶ τὰ Αἰσχύλου ἐψηφίσαντο διδάσκειν. κομψῶς δὲ τοῦτο ἔφη. τῶν γὰρ δυνατῶν, καὶ μετὰ θάνατον ᾄδονται τὰ ποιήματα. Τούτῳ δὲ συντέθνηκε] συναποθανοῦσα πάρεστιν ἐνθάδε ἐν τῷ ᾅδῃ, καὶ ἕξει αὐτὴν ξύμμαχον. Ὑμεῖς δὲ ταῖς μούσαις] πρὸς τὸν χορὸν ἴσον τῷ προσᾴσατε ὡς ὑπογραμμός τις ὤν.

## ΧΟΡΟΣ.

## CHORVS.

Bisetvs. Κορωνίς, καὶ εἴσθεσις ἐπῳδικὴ ἐκ κώλων ιγ'.

D

Χο. Διὸς ἐννέα παρθένοι, ἁγναὶ
Μοῦσαι, λεπτολόγους
Ξυνετὰς φρένας αἳ καθορᾶτε
Ἀνδρῶν γνωμοτύπων,
Ὅταν εἰς ἔριν ὀξυμερίμνοις
Ἔλθωσι, στρεβλοῖσι
Τε παλαίσμασιν ἀντιλογοῦντες,
Ἔλθετ' ἐποψόμεναι,
Δύναμιν δεινοτάτοιν στομάτοιν,
Πορίσασθαι ῥήματα,
Παραπρίσματ' ἐπῶν. νῦν γὰρ ἀγὼν
Σοφίας μέγας,
Χωρεῖ πρὸς ἔργον ἤδη.

CH. *Soboles Iouis eia nouenæ*
*Musæ, quæ aspicitis*
*Animos hominum sapientum*
*Doctos atque catos:*
*Vbi litem inient, sibi acutè*
*Inuentis luctandi*
*Rationibus oppposituri*
*Arma: ibi adeste Deæ,*
E *Vti vim nobilis eloquij*
*Videatis: & scobem*
*Numerorum date. iam concita lis*
*Sapientiæ capit*
*Vires opúsque surgit.*

Σχόλια. Διὸς ἐννέα.] κορωνὶς καὶ εἴσθεσις ἐπῳδικὴ διὰ τὸ μετὰ τὴν κορωνίδα τίθεσθαι, ἐκ κώλων ἀναπαιστικῶν μὲν διμέτρων ἑφθημιμερῶν κατὰ τὰς περιττὰς χώρας. κατὰ δὲ τὰς ἀρτίας ἀντισπαστικῶν ἡμιολίων ἐξ ἐπιτρίτου τετάρτου ἢ καὶ πεντασυλλάβου πλείω τοῦ τρισκαιδεκάτου ἰαμβικοῦ καθαροῦ ὄντος ἑφθημιμεροῦς. ἐφ' ᾧ κορωνίς. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δέκα. ὧν τελευταῖος ὀρθῶς μὲν ἐλέγχειν ὧν ἂν ἅπτωμαι λόγων. ἐπὶ τῷ τέλει παράγραφος. Γνωμοτύπων.] τῶν τὰς οἰκείας γνώμας διὰ τῶν λόγων τυπούντων. ἢ τῶν τύπους αὐτὰς τοῖς ὕστερον καταλιμπανόντων. ἢ τῶν ταῖς γνώμαις ἀλλήλους
F τυπτόντων. Ὀξυμερίμνοις.] τοῖς μετὰ σκέψεως εὑρισκομένοις, καὶ ἀσαφέσι. Ῥήματα καὶ παραπρίσματα.] τὰ μὲν ῥήματα πρὸς τὸν Αἰσχύλον. τὰ δὲ παραπρίσματα πρὸς τὸν Εὐριπίδην λεπτολογοῦντα.

Bisetvs. Σύστημα κατὰ περικοπὴν ἐκ στίχων ι.

Δι. Εὔχεσθε δὴ καὶ σφώ τι, πρὶν τἄπη λέγειν,
Αἰ. Δήμητερ, ἡ θρέψασα τὴν ἐμὴν φρένα,
Εἶναί με τῶν σῶν ἄξιον μυστηρίων.
(καλῶς.
Διόν. Ἐπίθες λαβὼν δὴ καὶ σὺ λιβανωτόν. Εὐρι.

G

BA. *Precamini verò & vos, priusquā carmina*
*Dicatis. ÆS. ô Ceres, quæ meum animū*
*Pascis, fac arcanis vt sim dignus tuis.* *(perplacet.*
*BA. Cape & tu aliquid thuris, & impone. EV.*

Σχόλια. Δήμητερ ἡ θρέψασα.] παρόσον Ἐλευσίνιος τὸν δῆμον ὁ Αἰσχύλος ἦν. ἢ ὅτι ἐν τοῖς Ἐλευσινίοις ἐτελεῖτο τὰ δράματα τοῦ Αἰσχύλου. ἔστι δὲ τοῦτο ἔπος Αἰσχύλου.

Biset. Εἶναί με] δηλονότι δός, ἢ εὔχομαι ὑπακουστέον. Σχ. Καλῶς.] ὅτι καὶ νῦν τὸ καλῶς, ἐπὶ παραιτήσει. ἀποστρεφόμενος δὲ καὶ παραιτούμενος ὁ Εὐριπίδης λέγει τὸ καλῶς.